# TEZAUR LITURGIC

## 22 IANUARIE

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA

## SF.CUVIOS-MUCENIC

# ANASTASIE

# PERSUL

## DE LA IERUSALIM

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 22 ΙΑΝΟΥΑΡΙΟΥ
# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ
# ΟΣΙΟΜΑΡΤΥΡΟΣ
# ΑΝΑΣΤΑΣΙΟΥ ΤΟΥ ΠΕΡΣΟΥ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους δ΄, καί ψάλλομεν Στιχηρά Προσόμοια τοῦ Ἁγίου.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Τοῦ κόσμου τά πέρατα τά σά, νῦν ἐξάδει θαύματα, θαυματουργέ Ἀναστάσιε· θαυματουργίαις γάρ ἀμειβόμενός σε, ὁ Χριστός ἐκόσμησε, βασάνους δι᾽ αὐτόν, ὑπομείναντα, καί μετά θάνατον, ἀθανάτου κατηξίωσεν, εὐδοξίας καί μακαριότητος.

Μαρτύρων τό καύχημα, λαμπρά, ἀναστήσας τρόπαια, κατά τῆς πλάνης ὁμώνυμον, παμμάκαρ εὔκλειαν, τῇ σῇ κλήσει φέρεις, πανταχοῦ φερόμενος στεῤῥός ὡς νικητής Ἀναστάσιε· καί νῦν ἀνάστησον, ἐκ πταισμάτων καταπτώσεως, τούς ἐν πίστει τιμῶντας τήν μνήμην σου.

Μάρτυς Ἀναστάσιε, στεῤῥά ἀναστήσας τρόπαια, κατά τῆς πλάνης ἀπείληφας, διπλοῦν τόν στέφανον, τῆς ἀσκήσεώς σου, καί στεῤῥᾶς ἀθλήσεως, καί μέχρι

θανάτου ἐνστάσεως· καί θαυμάτων τῶν σῶν, ἐπαξίως τήν ἐνέργειαν, ὁ Δεσπότης Χριστός ἐδωρήσατο.

Γενναίῳ φρονήματι Χριστόν, σύ ἐνστερνησάμενος, τόν ἰσχυρόν κατεπάτησας, ὡς γενναιώτατος, παλαίσμασιν τοῖς σοῖς, Μάρτυς Ἀναστάσιε· καί τοῦτον κατά κράτος, ἐνίκησας· Χριστῷ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τήν εἰρήνην, καί τό μέγα ἔλεος.

Δόξα. Ἦχος β'.

Ἐμεγάλυνας Χριστέ, ὡς ἐν τῇ Ἰουδαίᾳ, καί ἐν Βαβυλῶνι, τοῦ Τιμίου Σταυροῦ σου τήν δύναμιν· ἔμαθον γάρ δι' αὐτοῦ, τήν ζωοποιόν τῆς Ἀναστάσεως ἑορτήν· καί γέγονεν ἐν αὐτοῖς ὁ αἰχμάλωτος, ἐλευθερωτής εἰδωλομανίας· καί Μάρτυς ἀπαράγραπτος τῶν θαυμάτων, ὁ νῦν εὐφημούμενος ἀθλητής, Ἀναστάσιος ὁ ἔνδοξος, σύν Ἀγγέλοις χορεύων, καί πρεσβεύων ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Τήν πᾶσαν ἐλπίδα μου, εἰς Σέ ἀνατίθημι· Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην σου.

Εἰς τόν Στίχον, Στιχηρά Προσόμοια.

Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Χαίροις τῶν Ἀθλητῶν καί Ὁσιομαρτύρων, καί τῶν πιστῶν ἁπάντων, καταφυγή καί τεῖχος, καί δόξα Ἀναστάσιε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.

Στῦλος φωτοειδής, ἐδείχθης ἐν τῷ κόσμῳ, φωτίζων τούς ὑμνοῦντας, τήν μνήμην σου τήν θείαν, παμμάκαρ Ἀναστάσιε.

Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Μνήμην σου τήν σεπτήν, τούς πόθῳ ἐκτελοῦντας, περίσωζε κινδύνων, Ὁσιομάρτυς θεῖε, θεόφρον Ἀναστάσιε.

Δόξα. Τριαδικόν.

Πρέσβευε ἐκτενῶς, Τριάδι τῇ Ἁγίᾳ, συγχώρησιν πταισμάτων, διδόναι τοῖς σοῖς δούλοις, τρισμάκαρ Ἀναστάσιε.

Καί νῦν. Θεοτοκίον.

Δέσποινα ἀγαθή, Παρθένε Θεοτόκε, τόν σόν Υἱόν δυσώπει, μετά τοῦ Ἀθλοφόρου, ὑπέρ τῶν ἀνυμνούντων σε.

Νῦν ἀπολύεις. Τό Τρισάγιον. Τό Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ. Καί ἡ Μικρά Ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν Ψαλμόν, τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄ καί ψάλλομεν τά παρόντα Στιχηρά Προσόμοια τοῦ Ἁγίου·

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Πολυτρόποις κολάσεσιν, ἀνδρικῶς συνομίλησας, τοῦ ἐχθροῦ τήν ἔπαρσιν κατεπάτησας, ὁμολογῶν Ἀναστάσιε, τυράννων ἐνώπιον, τόν ὀφθέντα δι’ ἡμᾶς,

ἐν παχύτητι σώματος, καί τά ἄχραντα, ὑπομείναντα πάθη ἑκουσίως, καί πηγάσαντα τῷ κόσμῳ, τόν ἱλασμόν καί τό ἔλεος.
Εὐσεβείᾳ πυρούμενος καί ἀθλήσει κοσμούμενος, καί ἀνδρείᾳ Ὅσιε Ἀναστάσιε· οὐρανοχάλκευτος γέγονας, ἀοίδιμε μάχαιρα, τῶν Περσῶν τάς δυσμενεῖς, ἀφανίσασα φάλαγγας· ὅθεν σήμερον, τήν φωσφόρον ἐκ πόθου καί Ἁγίαν, ἑορτάζομέν σου μνήμην, κλέος Μαρτύρων καί καύχημα.
Ὠμοτάτως ξεόμενος, καί πλευράς ὀρυττόμενος, οὐκ ἐξηρνήσω τό ὄνομα, Χριστοῦ τό σεβάσμιον· Ἀναστάσιε σοφέ, Ἐκκλησίας εὐπρέπεια· διά ταῦτα σε, ἐν αἰνέσει τιμῶμεν, τήν Ἁγίαν ἑορτάζοντές σου μνήμην, Ὁσιομάρτυς μακάριε.

Ἕτερα. Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Ἄθλησιν ἐπόθησας, πολλάς βασάνους πανένδοξε, στεῤῥῶς ἐκαρτέρησας· ἐντεῦθεν πρός ἄπονον, μετετέθης λῆξιν καί ἄδυτον φέγγος, και φανοτάτην χαρμονήν, καί δι' αἰῶνος θείαν ἀπόλαυσιν· διό σέ μακαρίζομεν, καί τήν Ἁγίαν σου σήμερον, ἐκτελοῦμεν πανήγυριν, Ἀναστάσιε Ὅσιε.
Ἄνθος ὡραιότατον, ἐν τῷ λειμῶνι ἐξήνθησας, ἔνδοξε Ὁσιομάρτυς, τοῦ Πνεύματος ἐκπέμπων, θείαν εὐωδίαν, καί τάς διανοίας, εὐωδιάζεις τῶν πιστῶς καί ἐτησίως τήν μνήμην τιμώντων σου, τούς ἄθλους, τά παλαίματα, τήν μακαρίαν τελείωσιν, διά σοῦ φῶς ἀνέσπερον, Ἀναστάσιε δέχονται.

Ἄπειρος καί ἄφραστος, τῶν σῶν θαυμάτων ἡ δύναμις, Ἀναστάσιε Ὅσιε, Χριστόν γάρ ἐκήρυξας, ἐξ ὅλης καρδίας, καί ὡς Ἀθλοφόρος, τῶν αἰκισμῶν και τοῦ πυρός, καί τῶν βασάνων καταπεφρόνηκας, διό σέ καρτερόψυχε, τῶν οὐρανίων ὁ Κύριος, πολιστήν κατηξίωσαι, ὁ Σωτῆρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον συγκαλεῖται ἡμᾶς ἀδελφοί, ἡ ἐτήσιος μνήμη τοῦ ἐνδόξου Ἀθλοφόρου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, Ἀναστασίου τοῦ Ὁσιομάρτυρος. Δεῦτε οὖν ὕμνοις πνευματικοῖς, τήν λαμπράν αὐτοῦ καταστέφοντες ἄθλησιν, ἐκβοήσωμεν· Χαίροις ὁ τόν βίον σου ἐν ὁσιότητι καί δικαιοσύνῃ ἀνύσας· Χαίροις ὁ τόν Υἱόν τοῦ Θεοῦ, λαμπρᾷ τῇ φωνῇ ἐνώπιον τῶν ἀθέων ἀνακηρύξας· Χαίροις ὁ τό μαρτύριον ὑπέρ τοῦ ὀνόματος τοῦ Δεσπότου Χριστοῦ δεξάμενος, καί οὐρανῶν πολίτης γενόμενος, καί συμβασιλεύεις αὐτῷ, ὅν καθικέτευε, Ὁσίων καί Μαρτύρων ἐγκαλλώπισμα, σωθῆναι τάς ψυχάς ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ἀνυμνήσει σου τόν ἀλόχευτον τόκον; ὁ γάρ ἀχρόνως ἐκ Πατρός ἐκλάμψας Υἱός μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεός ὑπάρχων, καί φύσει γενόμενος ἄνθρωπος δι’ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ’ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτόν

ἱκέτευε, σεμνή Παμμακάριστε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Εἴσοδος, τό Φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας καί τά Ἀναγνώσματα·

Προφητείας Ἡσαΐου τό Ἀνάγνωσμα, (μγ΄ 9 – 14).
Τάδε λέγει Κύριος. Πάντα τά ἔθνη συνήχθησαν ἅμα, καί συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τά ἐξ ἀρχῆς τίς ἀκουστά ποιήσι ὑμῖν; Ἀγαγέτωσαν τούς μάρτυρας αὐτῶν καί δικαιωθήτωσαν καί εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καί ἐγώ μάρτυς, λέγει Κύριος ὁ Θεός, καί ὁ παῖς μου, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καί πιστεύσητε, καί συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός καί μετ᾽ ἐμέ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καί οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγώ ἀνήγγειλα καί ἔσωσα, ὠνείδισα, καί οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοί μάρτυρες καί ἐγώ Κύριος ὁ Θεός· ἔτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι καί οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καί τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεός ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα, (γ΄, 1 - 9).
Δικαίων ψυχαί ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καί ἡ ἀφ᾽ ἡμῶν

πορεία σύντριμμα· οἱ δέ εἰσίν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς, καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καί κρατήσουσι λαῶν, καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα
### (ε', 15 - 23 & ς', 1 - 3).

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας, καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τόν ζῆλον αὐτοῦ, καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς

παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν, ἐπί σκοπόν ἁλοῦνται, καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί δέ συγκλίσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καί σύνετε, μάθετε δικασταί περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.

## Εἰς τήν Λιτήν. Ἰδιόμελα.

### Ἦχος α΄.

Τόν γενναίον Ἀθλητήν Ἀναστάσιον, τόν ὑπέρ τῆς εὐσεβείας καλῶς ἀγωνισάμενον, δεῦτε λαοί ὑμνήσωμεν λέγοντες· Χαίροις, ὁ στεῤῥός τῆς πίστεως πρόμαχος, κατά τούς Προφῆτας καί Ἀποστόλους· Χαίροις, ὁ τόν Χριστόν ἔχων ἐν σεαυτῷ, μιμησάμενος ἔργῳ τόν Παῦλον· Χαίροις, ὁ τῶν καμνόντων ἀχείμαστος λιμήν· Χαίροις τό ἡμέτερον καύχημα, καί τῆς οἰκουμένης ἀγαλλίαμα.

### Ἦχος β΄.

Ὁσιομάρτυς ἔνδοξε, καί τοῦ Χριστοῦ φίλε γνήσιε, Ἀναστάσιε μακάριε, ταῖς σαῖς θερμαῖς ἱκεσίαις ἡμᾶς διέσωζε, δεόμεθα, ἀπό πάσης ἐχθροῦ ἐπιβουλῆς· Ὅτι

σέ προστάτην κραταιόν κεκτήμεθα, καί ἀριστείας ὑπόδειγμα· Περσῶν δέ καί πάντων τῶν Ὀρθοδόξων ἱερόν ἐγκαλλώπισμα· Σέ ἔχομεν πρός Θεόν τόν μόνον φιλάγαθον, μεσίτην θερμόν καί ἀκοίμητον.

Ἦχος γ΄.

Τυραννικής ὑπεριδών μανίαν, ἀθλητικήν ἐπεδείξω ἀνδρείαν, ἐν ἀσθενείᾳ σώματος, Ὁσιομάρτυς Ἀναστάσις ἔνδοξε· ἐν παῤῥησίᾳ, τῆς εὐσεβείας ἐκήρυξας, τό μέγα μυστήριον· καί Περσῶν καί Μήδων, τῇ πλημμύρᾳ τῶν λόγων σου, τῆς ἀπάτης τήν φλόγα κατέσβεσας. Ὅθεν καί μαρτυρίου τόν στέφανον δεξάμενος, παρά τοῦ ἀγωνοθέτου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἐν οὐρανοῖς αὐλιζόμενος, πρεσβεύων ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Πίστει καί πόθῳ ἀναφλεχθείς, τῷ πρός τόν Δεσπότην σέ γέροντι, καί τῷ μαρτυρίῳ τῷ ὑπέρ Χριστοῦ ὥσπερ κλίμακι χρησάμενος, ἀνῆλθες πρός οὐρανίους λειμῶνας· κακεῖθεν τῇ δοθεῖση σου χάριτι, τάς τῶν Περσῶν καί πάντων ἡμῶν καταυγάζεις διανοίας· Ἵνα ἐν καθαρᾷ καρδίᾳ ἐπιτελοῦσιν, τήν σήν πανίερον μνήμην, Ὁσιομάρτυς Ἀναστάσιε.

Δόξα. Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ, νικητής Μήδων καί Χαλδαίων γέγονας τῶν νοητῶν, πᾶσαν Βαβυλῶνος πλάνην καθελών, τῇ δυνάμει τοῦ Σταυροῦ· οὐ τῷ λείῳ τῶν ἡδονῶν ἐθέλχθης, οὐ τό πῦρ τῶν πειρασμῶν ἐδειλίασας· διό Χριστός ὁ Θεός ἡμῶν βραβείοις σε νικητικοῖς

ἐστεφάνωσε· καί νῦν σύν Ἀγγέλοις παριστάμενος, πρός Κύριον ἱκέτευε, αἰτούμενος εἰρήνη τῷ κόσμῳ, καί ταῖς ψυχαῖς ἡμῶν τό μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καί δοξάζομέν σε οἱ πιστοὶ κατά χρέος, τήν πόλιν τήν ἄσειστον, τό τεῖχος τό ἄῤῥηκτον, τήν ἀῤῥαγῆ προστασίαν, καί καταφυγή τῶν ψυχῶν ἡμῶν.

Εἰς τόν Στίχον, Στιχηρά Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις Ὁσιομάρτυς Χριστοῦ, τοῦ Παρακλήτου θεοκίνητον ὄργανον· τόν νοῦν γάρ ἀποκαθάρας δι᾽ ἐγκρατείας πολλῆς, τοῦ φωτός τοῦ θείου πλήρης γέγονας· ἐντεῦθεν ἐξέλαμψας, ὥσπερ λύχνος λαμπρότατος, ἐν τῇ Περσίᾳ, εὐσεβείας διδάγμασι, λύων ἅπασαν, τῶν ψυχῶν τήν σκοτόμαιναν· Ὅθεν καί τῆς ἀθλήσεως, ἀνύσας τό στάδιον, Ἀναστάσιε ἀλήκτου, κατηξιώθης λαμπρότητος· Χριστόν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις Ὁσιομάρτυς Χριστοῦ, Ὁσίων κλέος καί Μαρτύρων ἀγλάϊσμα· ὁ λύχνος ὁ φωτοφόρος ἀσκητικῆς ἀγωγῆς, καί διδασκαλίας στόμα ἔνθεον, Ἁγίων καλλώπισμα, Ὀρθοδόξων ὡράϊσμα, Περσίας θεῖον καί περίδοξον βλάστημα, Ἐκκλησίας δέ, λαμπηδών θεοφώτιστος· στήλη ἠθῶν σεμνότητος· δοχεῖον πολύτιμον, τοῦ Παναγίου Πνεύματος,

Ἀναστάσιε θεοφόρε· Χριστόν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Χαίροις ἀκτινοβόλε χρυσέ, ὁ ἐν πυρί δοκιμασθείς καί ἀκίβδηλος, τοῖς πᾶσι φανείς, θεόφρον· ἐν τῇ ἀλήκτω ζωῇ, οὐρανοπολίτης παραγέγονας· καί νῦν Ἀναστάσιε, στεφανίτης γενόμενος, χαίρων αὐλίζῃ σύν Ὁσίοις καί Μάρτυσι, ἐν τῇ θέᾳ, τοῦ Λυτρωτοῦ σου γηθόμενος. Μάρτυς Χριστοῦ πανθαύμαστε, Ὁσίων ὑπόδειγμα, θείου ἐλέους ρανίδας ὁ πλουσιόδωρος Κύριος, ἡμῖν ἐπιστᾶξαι, τῇ πρεσβείᾳ σου δυσώπει, ἀφθόνως πάντιμε.

Δόξα. Ἦχος δ΄.

Ἀσκητικοῖς προκαθαρθείς ἀγωνίσμασιν, ἀθλητικῶν καμάτων ἐκοινώνησας Ἀναστάσιε Ὁσιομάρτυς· τῷ γάρ θείῳ θελήματι, προθύμως διακονῶν, Ἀποστολικόν ἐπεδείξω ζῆλον, καί πολλῶν σωτηρίας ὤφθης πρόξενος, διδαχαῖς Ἁγίαις, καί ὡς Ὅσιος καί Μάρτυς, εὐαρεστήσας Χριστῷ, Περσῶν τό ἱερό ἐγκαλλώπισμα· Πρέσβευε Πάτερ, ὑπέρ τῶν εὐφημοῦντων σε.

Καί νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων, τους δούλους σου, φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σέ δοξάζομεν τήν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, τό Τρισάγιον καί τά Ἀπολυτίκια.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῶν Μαρτύρων τό κλέος καί Ὁσίων τό καύχημα, καί τόν θησαυρόν τῆς Περσίας, τόν σοφόν Ἀναστάσιον· τόν μέγα ἀντιλήπτορα πιστῶν, τόν κήρυκα τῆς πίστεως ἡμῶν· ταῖς ἀγγελικαῖς ὑμνῳδίαις, εὐφημοῦμεν σε λέγοντες· Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σέ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διά σοῦ πᾶσιν ἰάματα.

Δόξα. Ἕτερον. Ὅμοιον.

Σοφίαν τῇ θεόθεν δεδομένῃ κοσμούμενος, ἐκήρυξας τοῖς Πέρσαις τοῦ Σωτῆρος τό ὄνομα, καί τούτῳ ὡς θυσία καθαρᾷ, προσήχθης Πάτερ προθυμώτατα· διό Ὁσιομάρτυς Ἀναστάσιε, τιμῶντες ἀνακράζομεν· Δόξα τῷ παρασχόντι σοι ἰσχύν, δόξα τῷ σέ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διά σοῦ, ἡμῖν πταισμάτων ἄφεσιν.

Καί νῦν. Θεοτοκίον.

Τοῦ Γαβριήλ φθεξαμένου, σοί, Παρθένε τό Χαῖρε, σύν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοί τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τόν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διά τοῦ τόκου σου. Ἀπόλυσις

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α΄ Στιχολογίαν· Κάθισμα.

Ἦχος α΄. Τόν τάφον σου Σωτῆρ.

Ὡς ἥλιος λαμπρός, ἡ Ἁγία σου μνήμη, ἀνέτειλεν ἡμῖν, Ἀναστάσιε Μάρτυς, τοῖς θείοις δέ ἄθλοις σου, τούς πιστούς καταυγάζουσα, ἥν περ σήμερον, ἐπιτελοῦντες βοῶμεν· καθικέτευε, ὑπέρ ἡμῶν Ἀθληφόρε, τόν μόνον Φιλάνθρωπον.

Δόξα. Ὅμοιον.

Λειμῶνας εὐθαλεῖς ὑπερίπτασαι χαίρων, τό Πνεῦμα σου σοφέ, Ἀναστάσιε Μάρτυς, ἐξ ὧν πολυποίκιλα, καί εὐώδη δρεπόμενος, ἄνθη στέφανον, τῇ ἱερᾷ κεφαλῇ σου, πλέκεις ἄφθαρτον· διό Χριστοῦ στεφανίτα, ἀξίως τιμῶμεν σε.

Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Θεόν ὑπερφυῶς, συλλαβοῦσα Παρθένε, καί τέξασα αὐτόν, ἐν σαρκί ὑπέρ φύσιν, τήν φύσιν θεώσαντα, τῶν βροτῶν ἀγαθότητι, γευθέντα με τῇ χαλεπῇ ἁμαρτίᾳ, ἀποκάθαρον, τοῦ σοῦ ἐλέους τοῖς ρεῖθροις, καί σῶσόν με Πάναγνε.

Μετά τήν β΄ Στιχολογία. Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Ὁλοκαύτωμα δεκτόν Κυρίῳ, τήν Ἁγίαν σου σάρκα προσφέρων, Ὁσιομάρτυς Θεῷ εὐηρέστησας, τῆς βασιλείας διό σέ ἠξίωσε, τῆς αἰωνίου, σοφέ Ἀναστάσιε, ἧς ἀξίωσον τούς ὑμνητάς ἱκεσίαις σου, ταῖς εὐπροσδέκτοις μακάριε, λυτρούμενος ἡμῖν πάσης κακώσεως.

Δόξα. Ἦχος ὁ αὐτός. Τήν ὡραιότητα.

Ρώμην τήν ἄνωθεν ἀμφιασάμενος, κατεπολέμησας, ἐχθρῶν τάς φάλαγγας, ἀθλητικαῖς σου συμπλοκαῖς νικήσας αὐτῶν τό κράτος· Ὅθεν διπλοῦν στέφανον, οὐρανόθεν ἀπείληφας, ἀσκητής ὡς Ὅσιος, καί ὡς Μάρτυς ἀήττητος· καί νῦν Ἀναστάσιε τιμῶμεν, πίστει τελοῦντες σου τήν μνήμην.

Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Τόν ὑπερούσιον, σάρκα γενόμενον, ἐκ τῶν αἱμάτων σου, ἀφράστως τέτοκας, θεοποιοῦντα τοῦ Ἀδάμ, τήν φύσιν Θεογεννῆτορ. Ὅθεν ὡς αἰτίαν σε, σωτηρίας γεραίρομεν, καί ὡς πύλην ἄγουσαν, πρός ζωήν τήν αἰώνιον, καί πόθῳ σοι βοῶμεν Παρθένε· Χαῖρε ἡ Κεχαριτωμένη.

Μετά τόν Πολυέλεον. Κάθισμα.

Ἦχος δ'. Ταχύ προκατάλαβε.

Ὁσίως ἐβίωσας, εὐαρεστήσας Χριστῷ, Περσίαν ἐλάμπρυνας, διακονῶν ἀκλινῶς, τόν λόγον τῆς πίστεως, πᾶσιν ἀνακηρύττεις, καί νομίμως ἀθλήσας, ὤφθης Ὁσιομάρτυς, εὐκλεής τοῦ Σωτῆρος, θεόφρον Ἀναστάσιε· διό εὐφημοῦμεν σε.

Δόξα. Ἦχος πλ. α'. Τόν Συνάναρχον Λόγον.

Ἐν ἀσκήσει ἐκλάμψας, ὡς ἄστρον πάμφωτον, μαρτυρικῶς ἠγωνίσω ὑπέρ τῆς δόξης Χριστοῦ, Ἀποστόλων ἐν ψυχῇ ζῆλον κτησάμενος· Ὅθεν ἀξίως δοξασθείς, Ὁσιομάρτυς ἀληθής, Ἀναστάσιε ἐδείχθης, ἀδιαλείπτως πρεσβεύων, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Τόν Δεσπότην τῶν ὅλων, κυοφορήσασα, καί μετά τόκον τόν θεῖον ἄφθορος μείνασα, Ἀειπάρθενε Ἁγνή Θεογεννήτρια, φθοροποιῶν με λογισμῶν, καί ἀτόπων ἐννοιῶν, ἀπάλλαξον Θεοτόκε,καί τείχισόν με τῷ φόβῳ, τοῦ ἐκ νηδύος σου ἐκλάμψαντος.

Εἶτα τό α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου.

Ἐκ νεότητός μου, πολλά πολεμεῖ με πάθη· ἀλλ' αὐτός ἀντιλαβοῦ, καί σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπό τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρί ἔσεσθε ἀπεξηραμμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχή ζωοῦται, καί καθάρσει, ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ Μονάδι ἱεροκρυφίως.

Καί νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει, τά τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τήν κτίσιν πρός ζωογονίαν.

Προκείμενον. Ἦχος δ΄.

Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Εἶτα ἡ Τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, τό·

Πᾶσα πνοή αἰνεσάτω τόν Κύριον. (δίς)

Στίχ. Αἰνεῖτε τόν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτόν ἐν τοῖς ὑψίστοις· σοί πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεσάτω πνοή πᾶσα τόν Κύριον.

Εὐαγγέλιον· Ζήτει τήν Κυριακήν μετά τήν Ὕψωσιν (Μάρκ. η' 34-38, θ' 1).

Ὁ Ν' Ψαλμός χῦμα, καί μετ' αὐτόν·

Δόξα. Ἦχος β'.

Ταῖς τοῦ Ἀθλοφόρου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν. Ἦχος ὁ αὐτός.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου, καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τό ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος β'.

Δεῦτε φίλαθλοι, τῶν ἀθλητῶν καί Ὁσίων τό καύχημα, Ἀναστάσιον τόν θεῖον ἀνευφημήσωμεν· οὗτος γάρ βασάνους ὑπομείνας, καί στεῤῥῶς ἐγκαρτερήσας, ἀξίως παρέδωκεν τῷ πνεῦμα αὐτοῦ τῷ Θεῷ, καί στέφος παρ' αὐτοῦ ἐδέξατο. Ὅθεν δυσωπεῖ ὁ πολύαθλος, τοῦ ρυσθῆναι κινδύνων, τούς πίστει και πόθῳ, τελοῦντας τήν μνήμην αὐτοῦ.

Εἶτα οἱ Κανόνες ὡς συνήθως. Πρῶτον ὁ κανών τῆς Θεοτόκου μετά τῶν Εἱρμῶν καί εἶτα τοῦ Ὁσίου δύο.

Κανών τῆς Θεοτόκου. Ἐκ τοῦ Θεοτοκαρίου Ἀγαπίου τοῦ Κρητός.

Ὠδή α'. Ἦχος δ'. Ὁ Εἱρμός.

«Ἀνοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί, καί

ὀφθήσομαι φαιδρῶς πανηγυρίζων, καί ᾄσω γηθόμενος, ταύτης τά θαύματα.»

Σύ μόνη ἀντίληψις, καταφυγή καί συντήρησις, τῶν δούλων σου πέφυκας, Θεογεννῆτορ Ἁγνή, διά τοῦτο σοι προσπίπτω καί κραυγάζω, σῷσόν με τόν ἄθλιον, τῇ συμπαθείᾳ σου.

Αἱ πράξεις αἱ κρύφιαι, τό συνειδός μου μαστίζουσι, πρό προσώπου φέρουσαι, τούτου τόν ἔλεγχον, σπεῦσον Δέσποινα, βοήθεια γενοῦ μοι, πρό τῆς τελειώσεως, ῥῦσαι καί σῷσόν με.

Ἁγίασον Δέσποινα, τήν μολυνθεῖσαν καρδίαν μου, ἡ τόν ὑπεράγιον, Λόγον κυήσασα, καί ὑπάρχουσα, πασῶν ἁγιωτέρα, τῶν ἄνω Δυνάμεων, μόνη Πανύμνητε.

Ἐν σοί τάς ἐλπίδας μου, τῆς σωτηρίας ἀνέθηκα, καί πρός σέ τήν εὔσπλαχνον, πίστει κατέφυγον, μή παρίδῃς με, ἐλπίς ἀπηλπισμένων, ἀλλ' ὡς πολυΰμνητος, πρόφθασον σῷσόν με.

Κανών τοῦ Ὁσίου. Ποιήμα Γερασίμου μοναχοῦ Μικραγιαννανίτου. Οὗ ἡ ἀκροστιχίς·
«Ἀναστάσιον τιμῶ Ὁσιομάρτυρα. Γερασίμου.»
Ἦχος καί Εἱρμός ὁ αὐτός.

Ἄνω φωτιζόμενος, ἐκ τοῦ Δεσπότου, διάλυσον, τόν ζόφον μακάριε τῆς ἀγνωσίας μου, τήν φωσφόρον σου, ὅπως ὑμνήσω μνήμην, σοφέ Ἀναστάσιε, καί τούς ἀγῶνας σου.

Ναός ἐχρημάτισας, Πνεύματος θείου μακάριε, ἐχθρόν τόν ἀσώματον, κατετραυμάτισας, μετά σώματος, καί νῦν πρός θεῖον ὅρμον, τῆς ἄνω λαμπρότητος, σύ κατεσκήνωσας.

Ἁπάντων κατέλοιπες, Ὁσιομάρτυς ἀοίδιμε, δοχεῖον σύ τίμιον, ὤφθης τοῦ Πνεύματος, καί ἀνέβλυσας, ἰάσεων πελάγη, πᾶσαν Ἀναστάσιε, τήν γῆν ἐφώτισας.

Σέ μόνην χωρήσασαν, τόν προαιώνιον Κύριον, ἐν μήτρα πανάμωμε, Κόρη ὑμνήσωμεν, ὅτι γέγονας, οὐρανῶν πλατυτέρα· Θεόν σωματώσασα, δι' ἀγαθότητα.

Ἕτερος κανών τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχίς·
«Τούς ἄθλους Ἀναστασίου ὑμνῶ. Γερασίμου.»
Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Τούς ἄθλους προθύμως μάκαρ τούς σούς, ὑμνῶ ἐκ καρδίας, Ἀναστάσιε Ὅσιε, ἔχων παῤῥησίαν, πρός τόν Χριστόν, τῆς τῶν παθῶν τυραννίδος θεράπευσον.

Ὅλος διανοία τε καί ψυχή, ὅλος ἀνεκράθης τῇ ἀγάπῃ τῇ τοῦ Χριστοῦ, καί τῆς τῶν εἰδώλως ἐξαπάτης καί ἀσθενείας Σοφέ κατεφρόνησας.

Δόξα...

Ὑπέστης βασάνους πολυειδεῖς, ἐν σταδίῳ Ὁσιομάρτυς Ἀναστάσιε· διό ἐν τοῖς οὐρανοῖς κατοικῶν, ὑπέρ σῶν δούλων, τῇ Τριάδι αἴτησαι.

Καί νῦν...

Σαρκί τόν ἀμήτορα ἐκ Πατρός, ἀπάτορα τοῦτον ἐπ’ ἐσχάτων θεανδρικῶν, ἐκύησας μόνη Θεομῆτορ, ὡς ὑπερτέρα δέ πάσης τῆς κτίσεως.

Καταβασία. Χέρσον ἀβυσσοτόκον.

Τῆς Θεοτόκου. Ὠδή γ'. Ὁ Εἱρμός.

«Τούς σούς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καί ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν στερέωσον· καί ἐν τῇ Θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.»

Τήν δρόσον τῆς σῆς μοι εὐσπλαχνίας, παράσχου Πανάμωμε Ἁγνή, τῆς ἁμαρτίας καύσωνι, τηκομένῳ καί θλίψεων, ψυχήν ἐπαναψύχουσα, καί τήν καρδίαν μου εὐφραίνουσα.

Νοός μου τό σκότος Θεοτόκε, φωτί τῷ ἐν σοί ὡς ἀγαθή, ἐκδυσωπῶ διάλυσον, καί μετανοίας δάκρυσι, ῥυφθῆναί με ἀξίωσον, ὡς συμπαθής καί πολυέλεος.

Ῥανίσιν ἐλέους σου Παρθένε, τούς ἄνθρακας σβέσον τῶν ἐμῶν, παθῶν Θεοχαρίτωτε, καί ἐσβεσμένον ἄναψον, τόν λύχνον τῆς καρδίας μου, χρυσῆ λυχνία ὑπάρχουσα.

Χειμάζει με κλύδων ἁμαρτίας, καί σάλος ἀτόπων λογισμῶν, σπλαγχνίσθητι Πανάμωμε, καί χεῖρα βοηθείας μοι, ὡς ἐλεήμων ἔκτεινον, ὅπως σωζόμενος γεραίρω σε.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Τοῦ μαρτυρίου ὁδόν ἀνύω, καί σοῦ ἐκμιμήσομαι στεῤῥῶς, τό πάθος τό ἑκούσιον, ὁ Μάρτυς ἀνεκραύγαζεν, ἐπί σφαγήν ἑλκόμενος, πρός σέ τόν μόνον Θεόν ἡμῶν.

Αἰνέσεως πάντες οἱ γηγενεῖς, ὑμνήσωμεν σήμερον πιστῶς, τοῦ Κυρίου τόν Ὅσιον, καί κλεινόν Ἀναστάσιον, τῆς ἀληθείας Μάρτυρα, κεκοσμημένον τῇ χάριτι.

Στεῤῥῶς ἀντετάξω τῷ διώκτῃ, Χριστοῦ Μάρτυς Ἀναστάσιε, προτάττοντα κιβδήλοις σε, θύειν θεοῖς πανόλβιε, τῷ ὡς ἀρνίον θύεσθαι, ἑτοίμως ἔχοντι ἔνδοξε.

Ἰδού ὁ Μάρτυς Ἀναστάσιος, ἡμᾶς συγκαλέσας μυστικῶς, προ εὐωχίαν σήμερον, προτίθεται τούς ἄθλους αὐτοῦ, ὡς καρυκείαν ἄϋλον· δεῦτε πιστοί ἀπολαύσατε.

Ὁ τό φῶς δείξας πάσῃ τῇ κτίσει, φωτί τῷ ἐν σοί ὡς ἀγαθή, ἐκδυσωπῶ διάλυσον, καί μετανοίας τρόποις με, βελτιωθῆναι πρέσβευε, ὅπως ἐν πίστει δοξάζω σε.

Ἕτερος τοῦ Ἁγίου. Σύ εἶ τό στερέωμα.

Ἄνω ψάλλων τῷ Χριστῷ, πάσης χαρᾶς ὄντως πέπλησαι, Μάρτυς σοφέ· ὅθεν προθύμως, τό μαρτύριον ἤνυσας.

Θαύμασιν ἐστήριξας, Ὁσιώτατε Ἀναστάσιε, τάς τῶν πιστῶν, πάντων διανοίας, ὡς Μάρτυς ἱερώτατος.

Δόξα...

Λύχνος φαεινότατος, Ἀναστάσιε γεγέννησαι, φωταγωγῶν, ἐν τοῖς θείοις τρίβοις, τούς σήν μνήμην γεραίροντας.

Καί νῦν...

Ὁ τόκος σου ἔλυσε ἁμαρτιῶν ἡμῶν Ἄχραντε τάς ἐνοχάς, καί δικαιοσύνη πάντας πιστούς συνέδησεν.

Καταβασία. Τό στερέωμα.

Κάθισμα. Ἦχος α΄. Τόν τάφον σου Σωτῆρ.

Ὁσίως τόν καλόν, διανύσας ἀγῶνα, ἐνίκησας ἐχθρόν, τόν πολέμιον Μάρτυς, βραβεῖα καί θαύματα ἐκ Θεοῦ κομισάμενος· Ὅθεν ἅπασα, ἡ τῶν πιστῶν Ἐκκλησία, Ἀναστάσιε, ἐν τῇ παρούσῃ ἡμέρᾳ, τούς ἄθλους τιμῶσά σου.

Δόξα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἐν δόξει τελειότητος, ὤφθης ὑπέρτιμος, ὡς θείας λαμπόμενος, φωταγωγίαις τόν νοῦν· καί γνούς τοῦ Σταυροῦ τήν ἰσχύν, Ὅσιος ἐν ἀσκήσει, καί ἐν αἵματι Μάρτυς, γέγονας θεοφρόνως Ἀναστάσιε Μάρτυς, διό καί τῶν θαυμάτων ἐν σοί, βλύζει τήν χάριν Χριστός.

Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἐκαίνισας Ἄχραντε, τῷ θείῳ τόκῳ σου, φθαρεῖσαν ἐν πάθεσι τῶν γηγενῶν τήν θνητήν, οὐσίαν καί ἤγειρας, πάντας ἐκ τοῦ θανάτου, πρός ζωήν ἀφθαρσίας· Ὅθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ὡς προεφήτευσας.

## Ὠδή δ΄. Τῆς Θεοτόκου. Ὁ Εἱρμός.

«Τήν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.»

Ἡ πανυπερθαύμαστος Μήτηρ Θεοῦ, λάμψον μετανοίας ἀκτῖνα μοι, λῦσον τόν ζόφον τῆς ἀθλίας μου ψυχῆς, καί πονηρούς ἀφάνισον, διαλογισμούς τῆς καρδίας μου.

Σέ τό ἱλαστήριον πάντων βροτῶν, πίστει ἱκετεύω καί δέομαι, ὡς ἐλεήμων ἵλεών μοι τόν Κριτήν, καί σόν Υἱόν ἀπέργασαι, ὅπως ἐν αἰνέσει δοξάζω σε.

Τήν τεταπεινωμένην μόνη Ἁγνή, καί λελεπρωμένην καρδίαν μου, ταῖς ἀκαθάρτοις τῶν παθῶν ἐπαγωγαῖς, ὡς ἰατρός θεράπευσον, καί χειρός δαιμόνων ἐξάρπασον.

Σκέπη καί ἀντίληψις καταφυγή, γενοῦ μοι Παρθένε τῷ δούλῳ σου, καί λύτρωσαί με τῆς γεένης τοῦ πυρός, τόν καταδίκης ἄξιον, ὅπως αἰωνίως δοξάζω σε.

## Τοῦ Ἁγίου. Τήν ἀνεξιχνίαστον.

Νέος σύ ὡς ἥλιος ἀνατολαῖς, Μάρτυς τῶν ἀγώνων σύ ἅπασαν τήν οἰκουμένην, καταυγάζεις ἀληθῶς Ἀναστάσιε Ὅσιε, λύων τῶν ψυχῶν τήν σκοτόμαιναν.

Τό μακαριώτατον τέλος εὑρών, καί τῆς ποθουμένης οὐρανίου, δόξης ἀῤῥήτου ἐν χαρᾷ ἐπιτυχών, τῶν σέ τιμώντων μέμνησο, Ὁσιομάρτυς Ἀναστάσιε.

Ἰδού ἀγαλλιασώμεθα πιστοί, σήμερον τῇ μνήμῃ χορεύοντες, τοῦ Ἀθλοφόρου, καί βοήσωμεν αὐτῷ· Μεγαλομάρτυς αἴτησαι, πᾶσι τῶν πταισμάτων συγχώρησιν.
Μέγαν τόμον σε ἐτύπου Προφητῶν, Ἄχραντε Παρθένε ὁ μέγιστος, ἐν ᾧ δακτύλῳ κατεγράφη τοῦ Πατρός, ὁ Λόγος Θεονύμφευτε, βίβλῳ τῆς ζωῆς καταγράφων πιστούς.

Ἕτερος τοῦ Ἁγίου. Εἰσακήκοα Κύριε.

Ὕμνος ὁ σός μακάριε Ἀναστάσιε εἰς τά ἐπουράνια ἀνηνέχθη, καί εὐπρόσδεκτος τῷ Δεσπότῃ, πάντων νῦν γεγέννηται.
Σύ ὡ φοίνιξ ὑψίκομος, ἐν σταδίῳ Ὁσιομάρτυς ἐδείχθης, καί Θεῷ ἐκαρποφόρησας, γλυκυτάτους πόνους τῶν ἀγώνων σου.

Δόξα…

Ἀνενδοίαστον σύ ἔχων, σοῦ τόν λογισμόν σοφέ Ἀναστάσιε, κακίαν τοῦ πολεμήτορος, ἐν βυθῷ αἱμάτων Μάρτυς ὤλεσας.

Καί νῦν…

Νέον σύ, βρέφος κυήσασα Παρθένε Ἁγνή, τοῦ το δυσώπησον, τοῖς ἱκέταις σου δωρήσασθαι, τῶν πλημμελημάτων τήν συγχώρησιν.

Καταβασία. Ἐκάλυψεν οὐρανούς.

Τῆς Θεοτόκου. Ὠδή ε΄. Ὁ Εἱρμός.

«Ἐξέστη τά σύμπαντα ἐπί τῇ θείᾳ δόξῃ σου· σύ γάρ

ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τόν ἐπί πάντων Θεόν, καί τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, τήν εἰρήνην βραβεύουσαν.»

Νεκρούμενος πάθεσι, καί λογισμοῖς Πανάμωμε, πρός τούς οἰκτιρμούς σου καταφεύγω, πρός τήν θερμήν σου προστρέχω Δέσποινα, σκέπην καί βοήθειαν ζωήν, μόνη ἡ κυήσασα, τήν καρδίαν μου ζώωσον.

Ῥομφαίᾳ τρωθέντα με, τῆς ἁμαρτίας ἴασαι, τῷ δραστικοτάτω σου φαρμάκῳ, ἡ τόν Σωτῆρα τεκοῦσα Κύριον, λόγχῃ τόν τρωθέντα δι᾽ ἐμέ, Ἄχραντε καί τρώσαντα τήν καρδίαν τοῦ ὄφεως.

Νοός μου θεράπευσον, τάς ἐντροπάς Πανάμωμε, ἴασαι τά πάθη τῆς ψυχῆς μου, τῆς ῥαθυμίας σκότος ἀπέλασον, ὅπως εὐχαρίστως ἀνυμνῶ, πόθῳ καί γεραίρω σε, τήν θερμήν μου ἀντίληψην.

Ἰάσεων νάματα, ὀμβρίζεις Ἀειπάρθενε, πᾶσι τοῖς νοσοῦσιν ὡς νεφέλη, ἔμψυχος ὄντως τοῦ Βασιλέως Χριστοῦ, ὅθεν δυσωπῶ σε ἐκτενῶς, δρόσον ἰαμάτων μοι, ἀσθενοῦντι κατάπεμψον.

## Τοῦ Ἁγίου. Ὁ αὐτός.

Ὡραῖον ἄνθος πνέον, ὀσμήν ἐνθέου γνώσεως, τῆς θεογνωσίας τόν λειμῶνα, τοῦ Παραδείσου δένδρον, τό εὔκαρπον, τόν περικαλλῆ καί φωταυγῆ, Μαρτύρων ὑμνήσωμεν, καί πιστῶς μακαρίσωμεν.

Ὁ θεῖος Χριστοῦ Μάρτυς μεγαλυνέσθω ἄσμασιν, ἅμα σύν τοῖς Ἁγίοις Ἀγγέλοις, καί τοῖς Μάρτυσιν ἐν

οὐρανοῖς οἰκῶν, ὁ μέγιστος Ἀναστάσιος, τῷ Δεσπότῃ πρεσβεύει, ὑπέρ τῶν τιμώντων αὐτόν.
Σοφίαν σοι δέδωκε, Χριστός ὥσπερ ὑπέσχετο, δοῦναι τοῖς αὐτόν θερμῶς ποθοῦσιν, ᾗ ἀντιστῆναι ἤ ἀντιπεῖν οὐδαμῶς, ἴσχυσαν ὦ Ἀναστάσιε, πλάνης οἱ συνήγοροι ὡς ἐν σκότει καθήμενοι.
Ἰδόντες Πανάχραντε, σέ λυχνίαν ἑπτάφωτον, σύ γάρ τό ἀπαύγασμα τῆς δόξης, ἔλαμψας κόσμῳ τῆς τοῦ Πατρός ἐν σαρκί· οὗ τῇ ἐπιλάμψει Ἀγαθή, τοῦ νοός μου σκέδασον, τήν δεινήν ἀμαυρότητα.

Ἕτερος τοῦ Ἁγίου. Φώτισον ἡμᾶς.
Ἄνω φωτισθείς, τάς αἰκίσεις καθυπέμεινας, Ὁσιομάρτυς Ἀναστάσις, καθικέτευε, τῷ Δεσπότῃ δοῦναι λύτρωσιν.
Σοφία Θεοῦ, ἐν καρδίᾳ κεκτημένος Μάρτυς, τῶν τυράννων τά θωπεύματα, τῇ σῇ ἐνστάσει, κατέβαλες Ἀναστάσιε.
Δόξα...
Τῇ τῶν λόγω σου ἀληθείᾳ καλῶς ἔλυσας, ψεύδους τήν ἀχλήν Ὁσιομάρτυς, δείξας ἀσόφους, τούς τῇ πλάνῃ ρητορεύοντας.
Καί νῦν...
Ἀῤῥαγές τεῖχος, καί λιμένα καί ὀχύρωμα, καί ἐλπίδα Θεομῆτορ Ἁγνή, καί θεῖον ὅπλον κεκτημένοι σε σωζόμεθα.
Καταβασία. Ὡς εἶδεν Ἡσαΐας.

## Τῆς Θεοτόκου. Ὠδή ϛ΄. Ὁ Εἱρμός.

«Τήν θείαν ταύτην καί πάντιμον, τελοῦντες ἑορτήν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τάς χεῖρας κροτήσωμεν, τόν ἐξ αὐτῆς τεχθέντα, Θεόν δοξάζοντες.»

Ἡ μόνη πάντων βοήθεια, βοήθησον ἡμῖν κινδυνεύουσι, καί χεῖρα ὄρεξον, καί πρός λιμένα κατεύθυνον, τῆς σωτηρίας μόνη Θεοχαρίτωτε.

Λογοθεσίου με Πάναγνε, ἐν ὥρᾳ τῇ φρικτῇ σύ ἐξάρπασον, τῆς τῶν δαιμόνων τε, δεινῆς ἀπάτης καί κρίσεως, πυρός με ῥυομένη τοῦ αἰωνίζοντος.

Ὑμνολογῶ σε Πανύμνητε, δοξάζω τά σεπτά μεγαλεῖα σου, τῶν ἀκαθάρτων με, διό παθῶν ἐλευθέρωσον, καί τῆς ἀφράστου δόξης με καταξίωσον.

Ὑμνεῖν σε χρέος ὀφείλομεν, ἀλλ’ ὄντως πρός ἀξίαν οὐ σθένομεν, διό θαυμάζοντες, σιγῇ τιμῶμεν τό ἄφραστον, φρικτῶς ἐν σοί Παρθένε πραχθέν μυστήριον.

## Τοῦ Ἁγίου. Ὁ αὐτός.

Ὁσίως Λόγον τόν ἄναρχον, κηρύττων πρός μαρτύριον προσήχθης, σύ Ἀναστάσιε, γενναίως ἀντιταξάμενος, πρός σωτηρίας ὅρμον, κατεπειγόμενος.

Μέγα σε κέκτηται καύχημα, ἡ Ἐκκλησία τοῦ Θεοῦ θεόφρον, ἐν ᾗ τό αἷμα σου, ὑπέρ Κυρίου ἐξέχεας, ἄγειν Ἀναστάσιε, λαμπρῶς τήν μνήμην σου.

Ἀγώνων σου θείοις ρεύμασιν, ἐβύθισας ἐχθρόν τόν ἀσώματον, καί τῶν θαυμάτων σου, τῇ ἀναβλύσει ἐκπλύνεις παθῶν, πολυειδεῖς κηλῖδας ἀξιοθαύμαστε.

Ῥῦσαι Θεοτόκε Ἄχραντε, ἡ ἀφθόρως Ἁγνή διαμείνασα, μετά τήν κύησιν, φθοροποιῶν νοσημάτων με, καί λογισμῶν ἀτόπων, ταῖς ἱκεσίαις σου.

Ἕτερος τοῦ Ἁγίου. Τήν δέησιν ἐκχεῶ.

Σφαττόμενος Ἀθλητά ὑπέφερες, προορῶν τήν δι' αἰῶνος δόξαν· καί τήν τρυφήν, τήν ἀΐδιον ὄντως, μετά Μαρτύρων, ὡς Μάρτυς ἀήττητος, ἀπείληφας παναληθῶς, Ὅσιε Χριστοῦ Ἀναστάσιε.

Ἰάσεις παρέχων τοῖς σοῖς ἐν τῇ Περσίᾳ, τῇ πατρίδι τῇ σῇ Ὁσιομάρτυς· Ὅθεν ἡμῶν τήν νοσοῦσαν καρδίαν, καί τά τοῦ σώματος ἄλγη ἰάτρευσον, θεόφρον Ἀναστάσιε, τῇ δοθείσῃ σοι ἄνωθεν χάριτι.

Δόξα...

Ὁλόκληρον πρός Θεόν τήν ἔφεσιν, κεκτημένος Ὁσιομάρτυς Χριστοῦ, τῶν ἀγαθῶν τό ἀκήρατον ὄντως, τῶν ἐπιγείων τόν πόθον ἠμαύρωσας, καί ἔδραμες ἀναβοῶν· ἐκολλήθην ὀπίσω σου Δέσποτα.

Καί νῦν...

Ὑπάρχεις πύλη ἡ ἀδιόδευτος, τό ἀπαύγασμα Πατρός ὡς τεκοῦσα, ἐν ὁμοιώματι Κόρη ἀνθρώπων, τήν ἀνθρωπίνην οὐσίαν ρυόμενον, ἐκ τῆς κατάρας τοῦ Ἀδάμ, διά τοῦτο ὑμνοῦμεν σε Δέσποινα.

Καταβασία. Ἐβόησέ σοι.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Τόν Ἀναστάσιον πιστοί ἀνευφημήσωμεν, ὡς ἐν ἀσκήσει καί ἀθλήσει διαλάμψαντα. Πρός αὐτόν

ἀναβοῶντες ἀπό καρδίας, τόν Χριστόν Ὁσιομάρτυς καθικέτευε, πάσης θλίψεως λυτροῦσθαι καί κακώσεως, τοῦς βοῶντας σοι· Χαίροις Μάρτυς πανόσιε.

Ὁ Οἶκος.

Ἄγγελος ἐν ἀθλήσει, ἀληθῶς ἀνεδείχθης, Ἀναστάσιε νῦν ἀριστεύσας· διό καί τῆς τῶν ἀγγέλων χαρᾶς ἠξιωμένως ἐκτενῶς ἱκέτευε, πάσης ὀργῆς καί θλίψεως, λυτροῦσθαι τούς ἐκβοῶντας·

Χαῖρε, Περσίας ὁ θεῖος γόνος·
Χαῖρε, Μοναστῶν εὐῶδες ἄνθος.
Χαῖρε, Ἀγγέλων ἐν πᾶσιν ἰσότιμος·
Χαῖρε, τῶν θείων Ἀποστόλων ὁμότροπος.
Χαῖρε, ἄνθραξ θείου ἔρωτος Ἀναστάσιε σοφέ·
Χαῖρε, ἄνθρωπε οὐράνιε καί ἀγγέλων κοινωνέ.
Χαῖρε, ὅτι ἐδείχθης Ἐκκλησίας λαμπρότης·
Χαῖρε, ὅτι ἐφάνης τῶν πιστῶν ὡραιότης.
Χαῖρε, Χριστοῦ δοξάσα τό ὄνομα·
Χαῖρε, ἐχθροῦ πατήσας τό φρύαγμα.
Χαῖρε, δι’ οὗ οἱ πιστοί ἐδραιοῦνται·
Χαῖρε, δι’ οὗ οἱ ἐχθροί καταργοῦνται·
Χαῖρε, Μάρτυς πανόσιε.

Τό Συναξάριον ἐκ τοῦ Μηναίου.

Τῇ ΚΒ΄ τοῦ μηνός Ἰανουαρίου, μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀναστασίου τοῦ Πέρσου.

Στίχ. Ἀναστάσιος ἐν τραχήλῳ βρόχον,
Ὡς λαμπρόν ὅρμον ὡραΐζεται φέρων.

Τῆς Θεοτόκου. Ὠδή ζ'. Ὁ Εἱρμός.

«Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρά τόν Κτίσαντα, ἀλλά πυρός ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καί Θεός εὐλογητός εἶ.»

Ἀναλλοίωτον τεκοῦσα μόνη Κύριον, Θεοχαρίτωτε, τῇ παναλκεῖ δεξιᾷ, τόν νοῦν ἀλοιῶσαί μου αὐτόν ἱκέτευε, πρός τά κρείττονα, δεινῶς περιτρεπόμενον, τῶν δαιμόνων ἐπηρείαις.

Ἡ βασίλισσα Παρθένος ἡ κυήσασα, τόν Βασιλέα Χριστόν, οἰκτείρησον σῷσόν με, κλονούμενον πάθεσι, πίστει στερέωσον, καί ὁδήγησον, πρός σωτηρίας τρίβον με, τῶν πιστῶν ἡ σωτηρία.

Ἱλαστήριον μοι φάνηθι, Πανάμωμε, πρός τόν τεχθέντα ἐκ σοῦ, ἀποκοπάς χαλεπῶν, χρεῶν προξενοῦσα μοι, καί Βασιλείας Θεοῦ, θείαν εἴσοδον, καί τῆς τρυφῆς ἀπόλαυσιν, καί φωτός τήν μετουσίαν.

Παναμώμητε Μαρία, καί ἀσύγκριτε τῇ ἁγιότητι, ἡ τόν Θεόν ἐν σαρκί, Παρθένε κυήσασα, ἀπειρογάμως Ἁγνή, αὐτῷ πρέσβευε, παντοίας με κακώσεως, καί κολάσεως ῥυσθῆναι.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Τῷ πυρί τῆς καρτερίας ἀπετέφρωσας, ὑλώδη πλάνην ἐχθρῶν· θεολαμπής δέ ἀστήρ, ἐφάνης ἰάσεων Μάρτυς ἀστράπτων βολάς, τοῖς κραυγάζουσιν· Ὁ τῶν Πατέρων Κύριος, καί Θεός εὐλογητός εἶ.

Ὕμνοις Ἅγιε, οἱ Ὀρθόδοξοι μέλπουσι τά σαπαλαίσματα, καί πρός Χριστόν σέ θερμόν μεσίτην προβάλλοντες, ἀναβοῶσί σοι· ἀεί πρέσβευε, πάσης ἀνάγκης ρύεσθαι, ἡμᾶς ὦ Ἀναστάσιε.
Ῥείθροις ἤρδευσας, τῶν ἱερῶν αἱμάτων σου, ὦ Ἀναστάσιε, τήν Ἐκκλησίαν Χριστοῦ, αὐχμῷ τῆς δουλώσεως, καί τυραννίδος πικρᾶς· διό χαίρουσα γεραίρει σου τήν ἄθλησιν, καί τήν μνήμην ἑορτάζει.
Ἁγνή φωτός σε, παλάτιον εὑράμενος, Θεός τήν μήτραν σου, ταύτην κατώκησεν, υἱούς ἐργαζομένους, φωτός Πανάμωμε, τούς κραυγάζοντας· Ὁ τῶν Πατέρων Κύριος, καί Θεός εὐλογητός εἶ.

Ἕτερος τοῦ Ἁγίου. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὕμνοις μακαρίζει σε, ἡ Ἐκκλησία ὁρῶσα τούς ἀγῶνας σου, τήν χάριν τῶν θαυμάτων, τῆς νίκης τά βραβεῖα, ἅ παρέσχε σοι Κύριος Ὁσιομάρτυς σοφέ, λαμπρῶς ἠγωνισμένῳ.
Μετά Παύλου ἐβόας, οὐ χωρίσει με, Μάρτυς ἐκ τῆς ἀγάπης Χριστοῦ, οὐ κίνδυνος, οὐ λύπη, λιμός τε οὐδέ ξίφος· διό ἐκραύγαζες· Ὁ τῶν Πατέρων ἡμῶν, Θεός εὐλογητός εἶ.

Δόξα...

Νυμφική εὐωχία, είς τά ἄνω εἰσῆλθες, τοῦ βασιλέως Χριστοῦ, στολῆς ἐνδεδυμένος, ἀξίαν τοῦ καλοῦντος σε, ἐκβοῶν παμμακάριστε· Ὁ τῶν Πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Καί νῦν...

Ὡράθης Παρθένε, τόν ἐν κάλλει ὡραῖον Χριστόν κυήσασα, ἡμῖν ὁμοιωθέντα καί πάντας λυτρώσαντι· ὅθεν αὐτῷ ἐκβοῶμεν· Ὁ τῶν Πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Καταβασία. Σέ τόν ἐν πυρί δροσίσαντα.

Τῆς Θεοτόκου. Ὠδή η΄. Ὁ Εἱρμός.

«Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος· νῦν δέ ἐνεργούμενος, τήν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· Τόν Κύριον ὑμνεῖτε τά ἔργα, καί ὑπερυψοῦτε, εἰς πάντας τούς αἰώνας.»

Ἀσώτως τόν βίον διανύσας, καί πᾶσαν ἀκαθαρσίαν ἐργασάμενος, τρέμω τό κριτήριον, τήν φρικτήν ἐξέτασιν, καί τήν δεινήν ἀπόφασιν τῆς καταδίκης μου, ἐλέησον Κόρη τήν ψυχήν μου, καί πρό τοῦ θανάτου, συγχώρησιν παράσχου.

Ἐν σοί πᾶσαν ἐλπίδα σωτηρίας, ἀνέθηκα Θεομῆτορ Ἀπειρόγαμε, καί σέ εἰς βοήθειαν, προσκαλοῦμαι πάντοτε, διάσωσόν με θλίψεων καί πειρασμῶν τοῦ ἐχθροῦ, καί λῦσον τάς σειράς τῶν κακῶν μου, καί τοῦ αἰωνίου πυρός ἐξάρπασόν με.

Ὡράθης Ἀγγέλων ὑπερτέρα, Θεόν ἀποῤῥήτως σωματώσασα, τοῦτον οὗν ἱκέτευε, Δέσποινα Πανάμωμε, τῶν σαρκικῶν ἀνώτερον, γενέσθαι με πειρασμῶν, καί κρίσεως μελλούσης ῥυσθῆναι, καί τῆς αἰωνίου ζωῆς ἀξιωθῆναι.

Ναμάτων με πλήρωσον Παρθένε, ἐνθέων ἡ τήν Πηγήν κυοφορήσασα, λύτρωσον τοῦ καύσωνος τῶν ἁμαρτημάτων με, καί πρός ζωήν ὁδήγησον καί σωτηρίαν Ἁγνή, ὅπως ᾄδω πᾶσι τά θαυμάσια, καί γεραίρω σου πόθῳ τήν δύναμιν.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Γένος βροτῶν ὑμνεῖ Ἀθλοφόρε, τούς πόνους, τόν ζῆλον σου τόν ἔνθεον, καί τά ἀριστεύματα, Μάρτυς Ἀναστάσιε, δι᾽ ὧν ἐχθροῦ κατέβαλες τά πανουργεύματα, καί στέφος ἀφθαρσίας ἐδέξω, ἐκ τοῦ ἀθλοθέτου, καί πάντων Βασιλέως.

Ἐπλέχθη σοι στέφος ἀφθαρσίας, στεῤῥῶς ἀγωνισαμένω, καί νικήσαντι, ὄφιν τόν ἀρχέκακον, Μάρτυς ἀξιάγαστε· καί ἀθλητῶν ὁμήγυρις σέ ὑπεδέξατο· Τόν Κύριον ὑμνεῖτε βοῶντα, καί ὑπερυψοῦτε, εἰς πάντας τούς αἰῶνας.

Ῥήσεων τῶν σῶν μή ἐνεγκόντες, τήν δύναμιν Ἀναστάσιε οἱ τύραννοι, μάστιξιν ᾐκίζοντο,καί εἰρκταῖς τό σῶμα σου, καί λάβρῳ τοῦτῳ ἔφλεξαν πυρί μακάριε, οἱ μέτοχοι πυρός αἰωνίου· Σύ δέ τῷ Κυρίῳ ψάλλεις εἰς τούς αἰῶνας.

Ἄφλεκτος βάτος προδιετύπου, τό ξένον τοῦ τόκου σου μυστήριον, ἄκαυστος τῷ φλέγεσθαι, μένουσα πανάμωμε· και γάρ τό πῦρ ἐκύησας, τό τῆς Θεότητος· καί ἄφλεκτος διέμεινας Κόρη· ὅθεν σε ὑμνοῦμεν Παρθένε εἰς αἰῶνας.

Ἕτερος τοῦ Ἁγίου. Τόν Βασιλέα τῶν οὐρανῶν.

Γέγονας σύ Φωτός τοῦ θείου, Ὁσιομάρτυς, δοχεῖον εἰσέδυς, ἐν ἀδύτοις, Θεοῦ τοῖς θαλάμοις, σοφέ Ἀναστάσιε.

Ἔχοντες Μάρτυς, σέ βοηθόν ἐν ἀνάγκαις, λυτρωθείημεν τῇ σῇ ἐπιστασίᾳ, ὦ Ἀναστάσιε, ἐκ πάσης ἐπηρείας.

Δόξα...

Ῥείθροις σῶν αἱμάτων θεόφρον καταρδεύσας, τῆς ψυχῆς τήν ἄρουραν ἐδρέψω, τήν ἐκ τῶν θαυμάτων, ἀντίδοσιν πλουσίαν.

Καί νῦν...

Ἁμαρτίαις τραυματισθεῖσαν μου τήν ψυχήν, προσβοῶ σοι τῇ θείᾳ πρεσβεία σου, ταύτης θεραπεύσαις, Μήτηρ τοῦ Κυρίου μου.

Καταβασία. Ἀστέκτῳ πυρί ἑνωθέντες.

Τῆς Θεοτόκου. Ὠδή θ΄. Ὁ Εἱρμός.

«Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τά ἱερά θαυμάσια τῆς Θεομήτορος, καί βοάτω· Χαίροις Παμμακάριστε, Θεοτόκε Ἁγνή Ἀειπάρθενε.»

Στήσον τήν νομήν, τήν τῆς ἁμαρτίας μου Θεοχαρίτωτε, τήν λυμαινομένην μου, ψυχήν καί σῶμα καί τήν διάνοιαν, τῇ πανσθενεῖ πρεσβείᾳ τε και προστασία σου, θεραπείαν, διδοῦσα σωτήριον, τοῦ Δεσπότου τόν φόβον τόν ἄχραντον.

Σύ μου φωτισμός, σύ μου ἀπολύτρωσις καί συμμαχία μου, σύ δόξα καί καύχημα, καί προσδοκία καί σωτηρία μου, ὑπάρχεις παντευλόγητε καί σέ πιστῶς προσκυνῶ, καί βοῶ σοι, σῷσόν με τόν ἄθλιον, τόν ἀφρόνως Θεοῦ μακρυνόμενον.

Σῷσον με Ἁγνή, Σωτῆρα κυήσασα, καί πανοικτίρμονα, οἴκτειρον τόν δοῦλον σου, πρός μετανοίας τρίβους ὁδήγησον, τοῦ πονηροῦ τά σκάνδαλα ἐκ μέσου ποίησον, τῆς αὐτοῦ δέ λύτρωσαι ἐνέδρας με, καί πυρός αἰωνίου ἐξάρπασον.

Νοῦς ἀδυνατεῖ, καί πᾶσα διάνοια ἰλιγγιᾷ γηγενῶν, σέ τήν ὑπεραίρουσαν, καί τούς Ἀγγέλους ἐν ἁγιότητι, καί Σεραφείμ ἐπέκεινα καί Χερουβείμ ἀνυμνεῖν, Παναγία ὅθεν εὐφημοῦντές σε, τοῦ Ἀγγέλου τό Χαῖρε κραυγάζομεν.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Στήλη ἀρετῶν, καί πίστεως ἔρεισμα, καί λύχνος πάμφωτος, πύργος τε ἀκλόνητος ἐδείχθης Μάρτυς τῆς Ἐκκλησίας Χριστοῦ, καί ποταμός ἰάσεως ἀναβλυστάνων κρουνούς, ἰατρεῖον ἄμισθον τοῖς πόθῳ σου, τελοῦσι τήν μνήμην Ἀναστάσιε.

Ἰδού φωταυγής, ἐπέστη πανήγυρις τοῦ Ἀθλοφόρου Χριστοῦ· πάντες οὖν συνδράμωμεν, εὐσεβοφρόνως τούτου τά θαύματα, καί ἱερά παλαίσματα ἀνευφημῆσαι πιστῶς, δι᾽ ὧν ὤφθη Ἄγγελος ἐπίγειος, ἀληθῶς καί οὐράνιος ἄνθρωπος.

Μέγας ἐδείχθης, Μάρτυς Ἀναστάσιε, ἤρθης πρός τά ἄνω, ἔφθασας τά τάγματα τῶν ἀσωμάτων, ὡς μετά σώματος, τούς ἀσωμάτους δαίμονας, στεῤῥῶς τρεψάμενος, καί πρεσβεύεις, πίστει τούς τιμῶντάς σε, ὀφλημάτων λαβεῖν ἀπολύτρωσιν.

Ὅλην προσφοράν παρέδωκας παμμάκαρ, τήν σήν ψυχήν τῷ Θεῷ, μέσον βασάνων μέν, τό θεῖον τέλος ὑποδεχόμενος, πρός τόν τρυφῆς χειμάῤῥουν δέ κατασκηνούμενος, καί μεθέξει κάλλιστοι θεούμενος, καί φωτός ἀϊδίου πληρούμενος.

Ὑψίστου φωτός, φώτισόν με Πάναγνε· παῦσον τόν κλύδωνα, τόν ἐπιγινόμενον, τῆς τῶν δαιμόνων παρενοχλήσεως· καί εἰς ὁδόν κατεύθυνον τῶν θελημάτων Χριστοῦ, τοῦ νοός μου Ἄχραντε τήν στένωσιν, ὅπως πίστει ἀεί μακαρίζω σε.

Ἕτερος τοῦ Ἁγίου. Κυρίως Θεοτόκον.

Σέλας θεῖον ἐφάνης, ἀληθῶς τῇ ἐκκλησίᾳ, Χριστοῦ τοῦ Θεοῦ, Ἀναστάσιε Μάρτυς, τούς πιστῶς κατεφώτισας.

Ἰδών τάς δι’ αἰῶνος, θείας ἀντιδόσεις, καί ἐφετῶν ἀκροτάτῳ τρανότερον, Ἀναστάσιε, θεόφρον, τέρπου και χόρευε.

Μετέστης τῶν προσκαίρων, χαίρων πρός τά ἄνω, καί σύν Ἁγίοις Ἀγγέλοις, σκηνώσας σοφέ, τῶν μεμνημένων σε Μάρτυς, μέμνησο πάντοτε.

Δόξα...

Ὁσιομάρτυς Χριστοῦ, προσδέχου τόν ὕμνον, καί ἀμοιβήν μοι παράσχου τήν σήν πρός Θεόν, ἱκετηρίαν πταισμάτων, ἐκλυτρουμένη με.

Καί νῦν...

Ὑπέρτιμε Ἄνασσα, τήν κεκακωμμένην, ταῖς ἁμαρτίαις ψυχήν μου ἀγάθυνον, ἡ τόν Πανάγαθον Λόγον, ἀποκυήσασα.

Καταβασία. Ἐν νόμῳ σκιᾷ καί γράμματι.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀσκητικοῖς παλαίσμασιν, εὐαρεστήσας Ἅγιε, τῷ πανοικτίρμονι Λόγῳ, ἀθλητικαῖς ἀριστείαις, αὐτοῦ τό θεῖον ὄνομα, τιμήσας Ἀναστάσιε· διό δόξης τοῦ κρείττονος, συγκοινωνός ἀνεδείχθης, ὑπέρ ἡμῶν ἱκετεύων.

Ἕτερον. Ὅμοιον.

Ἀσκήσει κατελάμπρυνας, σόν βίον Ἀναστάσιε, καί μαρτυρίου ἀγῶσιν, ἐδόξασας τόν Σωτῆρα· διό τῆς ὑπέρ ἔννοιαν, λαμπρότητος ἠξίωσαι, Ὁσιομάρτυς ἔνδοξε, ὑπέρ ἡμῶν ἱκετεύων, τόν Βασιλέα τῆς δόξης.

Θεοτοκίον. Ὅμοιον.

Θεόν τόν Ὑπερούσιον, ὑπερφυῶς κυήσασα, ἐν ἀνθρωπίνῃ οὐσίᾳ, Θεοχαρίτωτε Κόρη, δι' ἄκραν ἀγαθότητα, τόν κόσμον ἀναπλάττοντα, ἀνάπλασιν σωτήριον, παράσχου νῦν τῇ ψυχῇ μου, ἐκ παραπτώσεων πλείστων.

Εἰς τούς Αἴνους· ἱστῶμεν Στίχους δ΄, καί ψάλλομεν τά παρόντα Στιχηρά Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων τά κάλλη, ποθῶν πανεύφημε, ἀσκητικοῖς ἀγῶσιν, τόν σόν βίον λαμπρύνας· βασάνους δέ ὑπέστης καί αἰκισμούς, καί τάς σάρκας ξεόμενος· πρεσβεύεις τῷ Κυρίῳ ὑπέρ ἡμῶν, Θεοφόρε Ἀναστάσιε.

Τούς ἱερούς σου ἀγῶνας, πιστῶς γεραίρομεν, ἀθλητικούς καμάτους, οὕς διήνησας χαίρων, θεόφρον Ἀναστάσιε ὑπέρ Χριστοῦ, τοῦ Σταυρόν ὑπομείναντος· καί τήν ἁγίαν σου μνήμην περιχαρῶς, ἑορτάζομεν ἐν ᾄσμασιν.

Τῆς ἀσεβείας καθεῖλες τά ὀχυρώματα, ἐν τῇ ὑπομονῇ σου, Ἀθλοφόρε Κυρίου, τήν νίκην οὐρανόθεν ἐδέξω σοφέ· μή οὖν παύσῃ δεόμενος, ὑπέρ τῶν πίστει τιμώντων σέ ἀληθῶς, Ἀναστάσιε πανόσιε.

Δαυϊτικῶς ὥσπερ φοίνιξ, ἐν ταῖς αὐλαῖς τῆς σεπτῆς, τῶν πρωτοτόκων Μάρτυς, Ἐκκλησίας ἀνθήσας, καρποῦ δέ σῶν ἀγώνων πάντας ἡμᾶς ἐπεύφρανας διήγειρας, πρός ἐγκωμίων ὑπόθεσιν καί θερμόν, ζῆλον τούτων Ἀναστάσιε.

Δόξα. Ἦχος πλ. α΄.

Τῇ εὐσεβείᾳ πυρσωθείς, σεαυτόν Κυρίῳ ἀνέθου, ὁλοτρόπῳ σπουδῇ, Ἀναστάσιε μάκαρ· καί ἐν ἀσκητικαῖς ἀρεταῖς, δόκιμος φανείς, ἐν τῷ σταδίῳ τῆς ἀθλήσεως, νίκης τρόπαιον ἔστησας, καί τά τῶν ἀντιπάλων, καλῶς ἀγωνισάμενος· τῇ γάρ θείᾳ ῥώμῃ, τό

πάθος τοῦ Χριστοῦ ἐδόξασας, καί τοῖς ἐν τῇ Περσίᾳ καύχημα ἐγένου. Ἀλλ᾽ ὦ Ὁσιομάρτυς ἀξιάγαστε, ὑπέρ ἡμῶν ἀεί ἱκέτευε, τῶν ἐκτελοῦντων τήν μνήμην σου.

Καί νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε οἱ πιστοί κατά χρέος, τήν πόλιν τήν ἄσειστον, τό τεῖχος τό ἄῤῥηκτον, τήν ἀῤῥαγῆ προστασίαν, καί καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη, Ἐκτενής καί Ἀπόλυσις.

## ΕΝ ΤῊ ΘΕΙᾼ ΛΕΙΤΟΥΡΓΙᾼ

Τά Τυπικά, οἱ Μακαρισμοί καί ἐκ τῶν Κανόνων τοῦ Ἁγίου ἡ γ΄ τοῦ πρώτου καί ἡ ς΄ τοῦ δευτέρου ᾠδή.

Ἀπόστολος.

Ζήτει ἐν τῇ Β΄ Σεπτεμβρίου.

Εὐαγγέλιον.

Ζήτει ἐν τῇ Κυριακῇ τῶν Ἁγίων Πάντων.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Ὄργανον τοῦ Πνεύματος γεγονώς, σεαυτόν καθάρας, δι᾽ ἀσκήσεως ἱερᾶς, ὕστερον ἀθλήσει τό ὄνομα Κυρίου, τιμήσας σύ προθύμως, ὦ Ἀναστάσιε.

Δίστιχον.

Ἀνάστασιν δίδου μοι Ἀναστάσιε,
Γερασίμῳ μέλψαντι τούς σούς ἀγῶνας.